# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΝΑΓΝΩΣΤΟΥ

ΗΤΟΙ

# ΣΥΛΛΕΙΤΟΥΡΓΙΚΟΝ

✝

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ "ΤΟΥΛΑΣ - ΜΑΥΡΑΚΟΣ„
ΕΡΜΟΥ 45 - ΠΑΤΡΑΙ

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΝΑΓΝΩΣΤΟΥ
ΗΤΟΙ
## ΣΥΛΛΕΙΤΟΥΡΓΙΚΟΝ

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ 'ΤΟΥΛΑΣ - ΜΑΥΡΑΚΟΣ
ΕΡΜΟΥ 45 - ΠΑΤΡΑΙ

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ

Μετὰ τὸ εὐλογητὸς ἄρχεται ὁ ταχθεὶς Μοναχὸς ἢ Προεστὼς ἀναγινώσκει τὸν Προοιμιακὸν Ψαλμὸν λέγων οὕτω:

**Δεῦτε** προσκυνήσωμεν, καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

**Δεῦτε** προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

**Δεῦτε** προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## Ψαλμὸς ΡΓ΄ 103

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κληθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσιν πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ προσδέξανται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσωσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην,

τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ τοῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος καὶ ἐγένετο νὺξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι, τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ, ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμὸς ζῷα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς συλλέξουσιν· ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος. Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται καὶ ἀνακαινεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν

ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον.

**Καὶ πάλιν**

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός. (τρὶς) ἡ ἐλπὶς ἡμῶν Κύριε Δόξα σοι.

Μετὰ δὲ τὸ ἐνδιάτακτον Κάθισμα τοῦ Ψαλτηρίου, ἀρχόμεθα τοῦ, Κύριε ἐκέκραξα εἰς τὸν τυχόντα ἦχον

## Ψαλμὸς ΡΜ 140

Κύριε, ἐκέκραξα πρὸς σὲ εἰσάκουσόν μου, εἰσάκουσόν μου Κύριε. Κύριε ἐκέκραξα πρὸς σὲ εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς Σέ, εἰσάκουσόν μου Κύριε Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν Σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή, εἰσάκουσόν μου Κύριε. Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν καὶ οὐ μὴ συνδιάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν. Παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν. Ἀκούσονται τὰ ῥήματά μου ὅτι ἡδύνθησαν ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς, διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην. Ὅτι πρὸς σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί μου, ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου. Φύλαξόν με ἀπὸ παγίδος, ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί· κατὰ μόνας εἰμὶ ἐγώ, ἕως ἂν παρέλθω.

## Ψαλμὸς ΡΜΑ' 141

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα· φωνῇ μου πρὸς Κύριον ἐδεήθην. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου. Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. Κατενόουν εἰς τὰ δεξιά, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με. Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου. Ἐκέκραξα πρὸς σέ, Κύριε, εἶπα. Σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων. Πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα. Ρῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

Εἰς στίχους Ι'

Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι

Εἰς στίχους Η'

Ἐκ βαθέων ἀνέκραξα σοι Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.

Γεννηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.

Εἰς στίχους στ'

Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τὶς ὑποστήσετε; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Εἰς στίχους Δ'

Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ ἡ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

## Ψαλμὸς ΡΙΣΤ 116

Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν ἅπαντες οἱ λαοί.

Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Δόξα τοῦ Ἁγίου, ἄν ἔχῃ καὶ νῦν Θεοτοκίον τῆς ὀκταήχου καὶ νῦν

Μετὰ δὲ τὴν εἴσοδον ψάλλομεν τὴν ἐπιλύχνιον εὐχαριστίαν τοῦ ἁγίου μάρτυρος Ἀθηνογένους.

Φῶς ἱλαρὸν ἁγίας δόξης Ἀθανάτου Πατρὸς, Οὐρανίου Ἁγίου Μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν Ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινὸν, ὑμνοῦμεν Πατέρα Υἱὸν καὶ Ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς ὑμνεῖσθαι φωναῖς αἰσίαις Υἱὲ Θεοῦ ζωὴν ὁ διδοὺς δι' ὃ ὁ κόσμος σὲ δοξάζει.

Εἶτα ψάλλονται τὰ Προκείμενα ταῦτα

Τῇ Κυριακῇ Ἑσπέρας. Ἦχος πλ.. δ'

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου·

Στίχος. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τῇ Δευτέρα ἑσπέρας. Ἦχος α'

Κύριος εἰσακουσαταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Στίχος. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου.

Τῇ Τρίτῃ ἑσπέρας. Ἦχος α'

Τὸ ἔλεός σου, Κύριε, καταδιώξει με, πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

Στίχος. Κύριος ποιμένει με, καὶ οὐδὲν μὲ ὑστερήσει.

Τῇ Τετάρτῃ ἑσπέρας. Ἦχος πλ. α'

Ὁ Θεὸς ἐν τῷ ὀνοματί σου σῶσον με καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Στίχος. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου.

Τῇ Πέμπτῃ ἑσπέρας, Ἦχος πλ. β'

Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.

Στίχος. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τῇ Παρασκευῇ ἑσπέρας. Ἦχος βαρύς.

Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεός σου προφθάσει με.

Στίχος. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός.

Τῷ Σαββάτῳ ἑσπέρας. Ἦχος πλ. β'

Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο.

Στίχος. Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Στίχος. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται

Καὶ μετὰ τὰ προκείμενα λέγει τὴν εὐχὴν ταύτην.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθ' ἅπερ ἠλπίσαμεν ἐπὶ σέ· Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματα σου. Εὐλογητὸς εἶ Δέσποτα συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιωμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὰ Ἀπόστιχα, ἐν οἷς λέγομεν Στίχους τῆς τυχούσης Ἑορτῆς ἐὰν ᾖ εἰ δ' οὐκ ἔστι, τοὺς παρόντας.

Στίχος α'. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ Ἰδοὺ ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς Κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆται ἡμᾶς.

Στίχος β'. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ἐπὶ πλέον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. Τὸ ὄνειδος τοῖς εὐθυνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Καὶ μετὰ τό, Δόξα, καὶ νῦν, τὴν ᾠδὴν ταύτην.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Εἶτα

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. Ἐκ γ'.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριὰς ἐλέησον ἡμᾶς· Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

Καὶ πάλιν, Δόξα Πατρί, ὡς ἀνωτέρω. Εἶτα

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γεννηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.

Τὸ Ἀπολυτίκιον τῆς τυχούσης ἑορτῆς, ἢ τῆς ἡμέρας.

Δόξα καὶ νῦν, Θεοτοκίον. Καὶ Ἀπόλυσις.

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ

Μετὰ τὸ Εὐλογητὸς ὁ Ἀναγνώστης λέγει τὸ Τρισάγιον τὸ Σῶσον Κύριε. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Προστασία φοβερά. Εἶτα ὁ Ἱερεύς, μετὰ τὸ ἐλέησον ἡμᾶς ὁ Θεός, ἐκφωνεῖ.

Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ὁ Προεστὼς ἄρχεται τοῦ Ἑξαψάλμου οὕτω

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (Ἐκ γ´)

Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (Ἐκ β´)

## Ψαλμὸς Γ´ 3

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου. Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Σὺ δὲ Κύριε, ἀντιλήπτωρ εἶ δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου. Φωνῇ μου πρὸς σὲ Κύριε ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Ἐγὼ δὲ ἐκοιμήθην, καὶ ὕπνωσα ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα, Κύριε σῶσόν με ὁ Θεός μου. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς αἰχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Καὶ πάλιν

Ἐγὼ ἐκοιμήθην, καὶ ὕπνωσα ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

## Ψαλμὸς ΛΖ´ 37

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι

καὶ ἐπεστήριξας ἐπ'ἐμὲ τὴν χεῖρα σου. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου, ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. Ἐταλαιπώρησα, καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλειπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. Οἱ φίλοι μου καὶ οἱ πλησίον του ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν. καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν. Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Ἐγὼ δὴ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα. Σὺ εἰσακούσει, Κύριε, ὁ Θεὸς μου. Ὅτι εἶπον Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροὶ μου, καὶ ἐν τῷ σαλευθῆναι πόδάς μου, ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντες με ἀδίκως. Οἱ ἀνταποδίδοντές μοι κακὰ ἀντὶ ἀγαθῶν, ἐνδιέβαλλόν με, ἐπὶ κατεδίωκον ἀγαθωσύνην.

Μὴ ἐγκαταλείπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου. ('Εκ β')

## Ψαλμὸς ΞΒ 62

Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου· ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ. Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωὰς τὰ χείλη μου ἐπαινέσουσί σε. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου καὶ ἐν τῷ ὀνοματί σου ἀρῶ τὰς χεῖρας μου. Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου, Εἰ ἐμνημόνευσόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, παραδοθήσονται εἰς χεῖρας ρομφαίας μερίδες ἀλωπέκων ἔσονται. Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ· ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Καὶ πάλιν

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα, γ' (ἄνευ Μετανοιῶν) Καὶ ἐξέρχεται ὁ Ἱερεὺς ἐκ τοῦ βήματος, λέγων τὰς ἑωθινὰς εὐχὰς ἔμπροσθεν τῆς εἰκόνος τοῦ Δεσπότου Χριστοῦ, μυστικῶς.

## Ψαλμὸς ΠΖ 87

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου

Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε. Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγεννήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος. Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου. Ἐπ᾽ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾽ ἐμέ. Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾽ ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς. Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας. Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι; Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρός σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε. Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου; ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ; Πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δέ, ἐταπεινώθην, καὶ ἐξηπορήθην. Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με. Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ ὅλην τὴν ἡμέραν, περιέσχον με ἅμα. Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

**Καὶ πάλιν**

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα, καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

## Ψαλμὸς ΡΒ΄ 102

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλόγει, ἡ ψυχή μου τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδό-

σεις αὐτοῦ. Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τας ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν, ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν ἐμνήσθη ὅτι χοῦς ἐσμέν Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ' ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς, υἱῶν, τῆς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, οἱ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ.

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλόγει ἡ ψυχή μου τὸ Κύριον. (ἐκ β')

## Ψαλμὸς ΡΜΒ 142

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνην σου. Καὶ μὴ εἰσέλθης εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖρας μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμα μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τό πνεῦμα σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνοματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου ὅτι ἐγὼ δοῦλος σου εἰμί.

### Καὶ πάλιν

Εἰσάκουσόν μου, Κύριε ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου.

### Εἶτα

Τὸ πνεῦμα σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Δόξα, καὶ νῦν. Ἀλληλούϊα ἀλληλούϊα ἀλληλούϊα δόξα σοι ὁ Θεὸς (τρὶς) Ἡ ἐλπὶς ἡμῶν, Κύριε δόξα σοι.

Εἶτα Συναπτή, τὸ Θεὸς Κύριος, τὸ ἀπολυτίκιον τοῦ Ἁγίου τῆς ἡμέρας, καὶ τὸ Θεοτοκίον. Εἰ δι ἔστιν. Ἀλληλούϊα τὰ Τριαδικὰ κατὰ τάξιν τὸ Ψαλτήριον, τὰ Καθίσματα, τὸν Ν΄ ψαλμὸν καὶ τὰς ἑπομένας ᾠδάς.

## ΑΙ ῼΔΑΙ

### Ὠδὴ πρώτη

Τῷ Κυρίῳ ἄσωμεν ἐνδόξως γὰρ δεδόξασται.

Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν.

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν οὗτός μου Θεὸς καὶ δοξάσω αὐτὸν· Θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν.

Κύριος συντρίβων πολεμίους, Κύριος ὄνομα αὐτῷ· Ἅρματα Φαραώ, καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν.

Πόντῳ ἐκάλυψεν αὐτούς· κατέβησαν εἰς βυθὸν ὡσεὶ λίθος.

Εἰς στίχους Η΄

Τότε ἔσπευσαν ἡγεμόνες Ἐδώμ, καὶ ἄρχοντες Μωαβιτῶν, ἔλαβεν αὐτοὺς τρόμος·ἐτάκησαν πάντες οἱ κατοικοῦτες Χαναάν,

Ἐπιπέσει ἐπ' αὐτοὺς φόβος καὶ τρόμος, μεγέθη βραχίονός σου ἀπολιθωθήτωσαν.

Εἰς στίχους ΣΤ΄

Ἕως ἂν παρέλθῃ ὁ λαός σου, Κύριε, ἕως ἂν παρέλθῃ ὁ λαός σου, οὗτος ὃν ἐκτήσω.

Ὁ κατειργάσω, Κύριε, ἁγίασμα, ὃν ἡτοίμασαν αἱ χεῖρες σου.

Εἰς στίχους Δ΄

Κύριος βασιλεύων τῶν αἰώνων καὶ ἐπ' αἰῶνα, καὶ ἔτι. Ὅτι εἰσῆλθεν ἵππος Φαραώ, σὺν ἅρμασι, καὶ ἀναβάταις εἰς θάλασσαν.

Οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

Δόξα, καὶ νῦν

### Ὠδὴ δευτέρα

Ὑστέον, ὅτι ἡ Δευτέρα ᾠδὴ οὐκ ἐτέθη ἐνταῦθα διότι οὐ στιχολογεῖται, εἰμὶ ἐν μόνῃ τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Τεσσαρακοστῇ.

## Ὠδὴ Τρίτη

Ἅγιος εἶ, Κύριε, καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου.

Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθη ἐν σωτηρίῳ σου.

Ὅτι οὐκ ἔστιν ὅσιος, ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου.

Μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχὴν μηδὲ ἐξελθέτω μεγαλορρημοσύνη ἐκ τοῦ στόματος ὑμῶν.

Ὅτι Θεὸς γνώσεων Κύριος, καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ.

Εἰς Στίχους Ν'

Διδοὺς εὐχὴν τῷ εὐχομένῳ, καὶ εὐλόγησεν ἔτη δικαίου, Κύριος ἀσθενῆ ποιήσει τὴν ἀντίδικον αὐτοῦ Κύριος ἅγιος.

Εἰς Στίχους στ'

Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ.

Ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς.

Εἰς Στίχους Δ'

Κύριος ἀνέβη εἰς οὐρανούς, καὶ ἐβρόντησεν, αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν.

Καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας χρηστῶν αὐτοῦ.

Δόξα καὶ νῦν

## Ὠδὴ Δ'

Δόξα τῇ δυνάμει σου Κύριε,

Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, Κύριε, κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην.

Ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ, ἐλέους μνησθήσει.

Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει καὶ ὁ Ἅγιος ἐξ ὄρους κατασκίου δασέος.

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.

Εἰς Στίχους Η΄

Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις.

Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν.

Εἰς Στίχους στ΄

Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ' ὑπάρξουσι βόες ἐπὶ φάτναις.

Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρίσομαι ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρι μου.

Εἰς Στίχους Δ΄

Κύριος ὁ Θεός μου δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν.

Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, τοῦ νικῆσαι ἐν τῇ ᾠδῇ αὐτοῦ.

Δόξα καὶ νῦν

## Ὠδὴ Πέμπτη

Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνη δὸς ἡμῖν.

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεὸς διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς.

Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου.

Κύριε, ὑψηλός σου βραχίων, καὶ οὐ ᾔδεσαν· γνόντες δὲ αἰσχυνθήτωσαν.

Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται.

Εἰς Στίχους Η΄

Πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες αὐτοῖς κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.

Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.

Εἰς Στίχους στ΄

Καὶ ὡς ἡ ὀδύνουσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὀδύνῃ αὐτῆς ἐκέκραγεν, οὕτως ἐγεννήθημεν τῷ ἀγαπητῷ σου.

Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς.

Εἰς στίχους Δ'

Ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ.

Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστίν· ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται.

Δόξα, καὶ νῦν

## Ὠδὴ Ἕκτη

Ὡς τὸν Προφήτην Ἰωνᾶν, σῶσον ἡμᾶς Κύριε

Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου καὶ εἰσήκουσέ μου.

Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με.

Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον.

Ἆρα προσθήτω τοῦ ἐπιβλέψαι πρὸς ναὸν τὸν ἅγιόν σου.

Εἰς στίχους Η'

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου· ἄβυσος ἐκύκλωσέ με ἐσχάτη.

Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι.

Εἰς στίχους ΣΤ'

Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σὲ, Κύριε Θεός μου.

Καὶ ἐλθέτω πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸν τὸν Ἅγιόν σου.

Εἰς στίχους Δ'

Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλαιον αὐτοῖς ἐγκατέλιπον.

Ὅσα ηὐξάμην ἀποδώσω σοι σωτηρίαν μου τῷ Κυρίῳ.

Δόξα καὶ νῦν

## Ὠδὴ Ἑβδόμη

Τῶν Πατέρων ἡμῶν ὁ Θεὸς, εὐλογητὸς εἶ

Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.

῞Οτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.
Καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς· κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν.
Καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν Πατέρων ἡμῶν Ἱερουσαλήμ.

Εἰς στίχους Η΄

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ ὑπερύμνητος, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου, τὸ ἅγιον, τὸ ὑπερύμνητον, καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας.

Εἰς στίχους ΣΤ΄

Εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς ἁγίας δόξης σου ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Εἰς στίχους Δ΄

Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς πάντας τοὺς αἰῶνας.

Δόξα καὶ νῦν

## ᾨδὴ Ὀγδόη

Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε

Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε εἰς αὐτὸν τοὺς αἰῶνας.
Εὐλογεῖτε ἄγγελοι Κυρίου, οὐρανοὶ Κυρίου, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν τοὺς εἰς αἰῶνας.
Εὐλογεῖτε ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ δυνάμεις Κυρίου, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
Εὐλογεῖτε, ἥλιος, καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ,

τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἰς Στίχους Η΄

Εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία καὶ πάντα τὰ κτήνη, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, εὐλογήτω Ἰσραήλ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἰς Στίχους ς΄

Εὐλογεῖτε, ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἰς Στίχους Δ΄

Εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, καὶ Μισαήλ, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἀπόστολοι, Προφῆται καὶ Μάρτυρες Κυρίου, τὸν Κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον· ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας

Δόξα, καὶ νῦν

## Ὠδὴ ἐννάτη

Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Ἐποίησε κράτος ἐν βραχιόνι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος

## Προσευχὴ Ζαχαρίου, τοῦ Πατρὸς τοῦ Προδρόμου

Ζαχαρίας εὐλογεῖ παιδὸς τόκον

Εὐλογητὸς Κύριος, ὁ Θεος τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.

Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ.

Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος Προφητῶν αὐτοῦ.

Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς ἐκ πάντων τῶν μισούντων ἡμᾶς.

Ποιῆσαι ἔλεος μετὰ τῶν Πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ.

Εἰς Στίχους Η΄

Ὅρκον, ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν, ρυσθέντας.

Λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Εἰς Στίχους στ΄

Καὶ σύ, Παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν.

Εἰς Στίχου Δ΄

Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς Ἀνατολὴ ἐξ ὕψους ἐπιφάναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις

Τοῦ κατευθύναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Δόξα, καὶ νῦν

Εἰ οὐκ ἔστι Κυριακὴ ἢ Ἑορτή, λέγε τοὺς αἴνους οὕτως.

# ΟΙ ΑΙΝΟΙ

## Ψαλμὸς ΡΜΗ 148

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν Οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατε καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες, καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία, καὶ πάντα κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς, καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## Ψαλμὸς ΡΜΘ 149

Ἄσατε τῷ Κυρίῳ, ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐιοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ρομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐιῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## Ψαλμὸς ΡΝ 150

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ· αἰνεῖται αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖται αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖται αὐτὸν ἐν κυλβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

**Δόξα, καὶ νῦν**

Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ καὶ τῷ

Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα σοὶ τῷ δείξαντι τὸ φῶς· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ Παντοκράτωρ. Κύριε, Υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ἐλέησον ἡμᾶς ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος· σὺ εἶ μόνος Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾿ ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγεννήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.

Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, κτλ.

(Ὅρα ὄπισθεν σελ. 27)

Ὁ Ἱερεὺς τό, Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ καὶ τὰ λοιπά.

Εἰ δὲ ἐστὶ Κυριακή, ἢ Δεσποτική, ἢ Ἁγίου Ἑορτὴ ψάλλονται εἰς τὸν τυχόντα ἦχον οὕτω:

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Εἰς στίχους στ´

Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Εἰς στίχους Δ´

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτον ἐν τυμπάνῳ καὶ χορῷ. Αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Καὶ εἰ ἔσται Κυριακὴ, λέγε καὶ τοὺς ἐφεξῆς δύο Στίχους.

Ἀνάστηθι *Κύριε* ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.

Ἐξομολογήσομαί σοι, Κύριε ἐν ὅλῃ τῇ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Δόξα, τὸ Ἑωθινόν. Καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις.

Δόξα σοι τὸ δείξαντι τὸ φῶς.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία·

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκηνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ Παντοκράτωρ Κύριε, Υἱὲ μονογενὲς Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεὸς, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τήν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς καθ᾽ ἅπερ ἠλπίσαμεν ἐπί σε·

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

(Ἐκ γ′)

Κύριε καταφυγὴ ἐγεννήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Ἐκ γ′)

Δόξα, καὶ νῦν. Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Εἶτα γεγονωτέρα φωνῇ

Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Τὸ ἀπολυτίκιον, Ἀναστάσιμον ἢ τοῦ Ἁγίου καὶ

Ἀπόλυσις.

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΔΙΑΤΑΞΕΩΝ ΤΗΣ ΘΕΙΑΣ & ΙΕΡΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

Μετὰ τὴν α΄ αἴτησιν ἄρχεται ὁ πρῶτος χορός.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς

(ἐκ τρίτου).

Μετὰ τὴν β΄ αἴτησιν ἄρχεται ὁ δεύτερος χορὸς

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν ψάλλοντάς Σοι. Ἀλληλούϊα

(ἐκ τρίτου).

Δόξα Καὶ νῦν. Ἦχος πλ. β΄.

Ὁ μονογενὴς Υἱὸς, καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, και καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεὸς, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς·

Μετὰ τὴν εἴσοδον τοῦ Εὐαγγελίου

Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ. Σῶ-

σον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν ψάλλοντάς σοι· Ἀλληλούϊα

Ἦχος β'

Ἀπόστολοι, Μάρτυρες καὶ προφῆται, Ἱεράρχαι Ὅσιοι καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, τὴν πίστιν τηρήσαντες, παρρησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. δ'

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ νῦν. Ἦχος πλ. δ'

Ὡς ἀπαρχὰς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη προσφέρει σοι, Κύριε, τοὺς θεοφόρους Μάρτυρας ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ βαθείᾳ τὴν Ἐκκλησίαν σου, διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε.

Ὁ πρῶτος Χορὸς εἰς Ἦχον β'

Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ὁ δεύτερος Χορὸς

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ὁ πρῶτος Χορὸς

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς.

Ὁ δεύτερος Χορὸς

Δόξα, καὶ νῦν. Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ὁ πρῶτος Χορὸς γεγωνοτέρᾳ φωνῇ

Δύναμις. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ὁ Ἀπόστολος, τὸ Ἀλληλούϊα, (τρὶς) τὸ Εὐαγγέλιον.

Εἶτα τὸν Χερουβικὸν Ὕμνον

Οἱ τὰ χερουβὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν Τρισάγιον ὕμνον προσᾴδοντες πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν· ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς Ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα·

Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Τὸ, Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα Παντοκράτορα.

Ἔλεον Εἰρήνης, θυσίαν αἰνέσεως.

Καὶ μετὰ τοῦ Πνεύματός σου.

Ἔχομεν πρὸς τὸν Κύριον.

Ἄξιον καὶ δίκαιόν ἐστι, προσκυνεῖν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα. Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.

Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις. Ἀμήν. Ἀμήν.

Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν.

Μέγα τὸ ὄνομα τῆς Ἁγίας Τριάδος.

**Καὶ τὸ ἑπόμενον Θεοτοκίον Μεγαλυνάριον. Ἦχος πλ. α'.**

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε, τὴν Θεοτόκον τὴν ἀειμακάριστον, καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Καὶ πάντων καὶ πασῶν.

Καὶ μετὰ τοῦ Πνευματός σου.

Τὸ Πάτερ ἡμῶν ἐν τοῖς οὐρανοῖς.

Καὶ τῷ πνευματί σου.

Εἰς βοήθειαν πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός. εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Ψάλλομεν δ' ἔπειτα τὰ Κοινων. ταῦτα κατὰ τὴν τυχοῦσαν ἡμέραν, Τῇ Δευτέρᾳ. Ἦχος α'

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ἀλληλούϊα

Τῇ Τρίτῃ, Ἦχος γ'

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα

Τῇ Τετάρτῃ, Ἦχος πλ. δ'

Ποτήριον σωτήριον λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

Τῇ Πέμπτῃ, Ἦχος πλ. δ'

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ρήματα αὐτῶν. Ἀλληλούϊα.

Τῇ Παρασκευῇ, Ἦχος πλ.δ'

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς, Χριστὲ ὁ Θεὸς, Ἀλληλούϊα.

Τῷ Σαββάτῳ, Ἦχος α'

Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου, Κύριε καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούϊα

Τῇ Κυριακῇ εἰς τὸν τυχόντα Ἦχον

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.

Μετὰ τὴν ἐκφώνησιν σῶσον ὁ Θεὸς τὸν λαόν σου ὁ ἀναγνώστης λέγει

Ἀμήν, Ἀμήν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εἰς πολλὰ ἔτη Δέσποτα.

Εἶτα ψάλλονται εἰς Ἦχον β'

Εἴδομεν τὸ Φῶς τὸ ἀληθινὸν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμήν. Εἰς ἄφεσιν ἁμαρτιῶν καὶ ζωὴν τὴν αἰώνιον

Καὶ μετὰ τὸ συστεῖλαι τὰ Ἅγια τὸ ἑπόμενον τροπάριον

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων, ἀθανάτων, καὶ ἀχράντων σου Μυστηρίων. στήριξον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλ. (τρίς).

Μετὰ ταῦτα ψάλλομεν εἰς ἦχον πλ. β'

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος (Ἐκ τρίτου)

Εἶτα ἀναγινώσκεται ὁ ἑπόμενος

## Ψαλμὸς ΛΓ' 33

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ ἔνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου ἀκουσάτωσαν πρᾳεῖς καὶ εὐφρανθήτωσαν. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ με, καὶ ἐκ πασῶν τῶν θλίψεών μου, ἐρρύσατό με. Προσέλθετε πρὸς αὐτὸν καὶ

φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ, καὶ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν. Παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς.

Γεύσασθε, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν. Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δ' ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν, ἀγαθῶν ἡμέρας ἰδεῖν ἀγαθάς; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. Ἐκέκραξαν οἱ δίκαιοι καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς. Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν· ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. Θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι. Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

Δόξα καὶ νῦν, καὶ γίνεται Ἀπόλυσις

## Τῇ δὲ Ἁγίᾳ καὶ Μεγάλῃ Τεσσαρακοστῇ

Μετὰ τὴν Στιχολογίαν, τό, πρὸς Κύριον, τό, Κύριε ἐκέκραξα. Καὶ κατὰ τὰς Προφητείας, ψάλλομεν ἀργῶς καὶ μετὰ μέλους τὸ ἑπόμενον.

### Ἦχος α'

Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώ-

πιόν σου, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.

Ἀντὶ δὲ τοῦ Χερουβικοῦ, τὸ παρὸν εἰς ἦχον πλ. δ΄

Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν, σὺν ἡμῖν ἀοράτως λατρεύουσιν· ἰδοὺ γὰρ εἰσπορεύεται ὁ Βασιλεὺς τῆς δόξης.

Ἰδοὺ θυσία μυστικὴ τετελειωμένη δορυφορεῖται· πίστει καὶ πόθῳ προσέλθωμεν, ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα. Ἀλληλούϊα (τρίς).

Τὸ Πάτερ ἡμῶν, καὶ τὸ Κοινωνικὸν εἰς Ἦχον α΄

Γεύσασθε καὶ ἴδετε, ὅτι Χριστὸς ὁ Κύριος. Ἀλληλούϊα. (τρίς).

Μετὰ δὲ τὴν ἐμφάνισιν τῶν Ἁγίων Δώρων ψάλλομεν εἰς Ἦχον δ΄.

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἄρτον οὐράνιον, καὶ ποτήριον ζωῆς, γεύσασθε, καὶ ἴδετε, ὅτι Χριστὸς ὁ Κύριος. Ἀλληλούϊα. (τρίς).

Καὶ μετὰ τὸ συστεῖλαι τὰ Ἅγια, τὸ Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου· εἶτα τό, Εἴη τὸ ὄνομα Κυρίου, ἐκ γ΄ καὶ τὸν Ψαλμόν, Εὐλογήσω τὸν Κύριον, κτλ. (Ὅρα ὄπισθεν σελ. 32). Καὶ μετὰ ταῦτα ἀναγινώσκεται ὁ ἑπόμενος.

## Ψαλμὸς ΡΜΔ 144

Ὑψώσω σε ὁ Θεός μου, ὁ Βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ, οὐκ ἔστι πέρας. Γενεὰ καὶ Γενεὰ ἐπαινέσει τὰ ἔργα σου, καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι. Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται. Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου αἰροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται. Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλ-

λιάσονται. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος. Χριστὸς Κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. Εξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι. Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου. Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους. Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ἀνοίγεις σὺ τὴν χεῖρα σου καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας. Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. Φιλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσά σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος

# ΣΥΛΛΕΙΤΟΥΡΓΙΚΑ ΤΗΣ ΚΥΡΙΑΚΗΣ

Ἄρχεται ὁ πρῶτος χορός, εἰς ἦχον πλ. δ'

## Ψαλμὸς ΡΒ 102

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀντα-

ποδόσεις αὐτοῦ. Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται, ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος, οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ Οὐκ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν, ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν.. Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν, ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμέν. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ' ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ Δυνάμεις αὐτοῦ λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ. Εὐλογεῖται τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Δόξα, καὶ νῦν. Γεγωνοτέρα τῇ φωνῇ

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, εὐλογητὸς εἶ Κύριε.

Εἶτα ὁ δεύτερος χορὸς

Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι.

## Ψαλμὸς ΡΜΕ 145

Αἴνει ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλλῷ τῷ Θεῷ μου ἕως ὑπάρχω. Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία. Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ. Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασαν καὶ πάντα τὰ ἐν αὐτοῖς. Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρῖμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι. Κύριος λύει πεπεδημένους. Κύριος σοφεῖ τυφλούς. Κύριος ἀνορθοῖ κατερραγμένους, Κύριος ἀγαπᾶ δικαίους, Κύριος φυλάσσει τοὺς προσηλύτους. Ὀρφανὸν καὶ χήραν ἀναλήψεται καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου Σιών, εἰς γενεὰν καὶ γενεάν.

Καὶ νῦν

Ὁ Μονογενὴς Υἱὸς καὶ λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς Ἁγίας Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Καὶ μετὰ ταῦτα τοὺς Μακαρισμοὺς, ὡς ἕπεται

Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν οὐρανῶν.

Μακάριοι οἱ πενθοῦντες ὅτι αὐτοὶ παρακληθήσονται.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Εἰς στίχους Η΄

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται

Εἰς στίχου στ΄

Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Εἰς στίχους Δ΄

Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ.

Χαίρετε καὶ ἀγαλλιᾶσθε ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς.

Δόξα καὶ νῦν

Καὶ μετὰ τὴν εἴσοδον τὸ παρόν, εἰς ἦχον. πλ. β΄

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.

Τὸ Ἅγιος ὁ Θεός· τὸ Ἀλληλούϊα· τὸν Χερουβικὸν Ὕμνον, τὸ Πάτερ ἡμῶν· τὸ Κοινωνικόν· Αἰνεῖτε τὸν Κύριον καὶ τὰ λοιπά, ὡς προεγράφη ἐν τῇ καθ' ἡμέραν Λειτουργίαν.

# ΚΟΙΝΩΝΙΚΑ ΕΝ ΤΑΙΣ ΔΕΣΠΟΤΙΚΑΙΣ ΨΑΛΛΟΜΕΝΑ

## Τῆς Ὑψώσεως τοῦ Σταυροῦ

Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε, Ἀλληλούϊα

## Τῆς Χριστοῦ Γεννήσεως

Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ. Ἀλληλούϊα.

## Τῶν Θεοφανείων

Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις. Ἀλληλούϊα.

## Τοῦ Εὐαγγελισμοῦ

Ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Ἀλληλούϊα.

## Τῆς Σταυροπροσκυνήσεως

Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου. Κύριε, Ἀλληλούϊα.

## Τοῦ Λαζάρου

Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. Ἀλληλούϊα.

## Τῶν Βαΐων

Εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου. Ἀλληλ.

## Τῇ Μεγάλῃ Πέμπτῃ

Ἀντὶ τοῦ Χερουβ. καὶ Κοιν. ψάλλομεν τὸ ἑπόμ. εἰς ἦχον πλ. β'

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου, τὸ Μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθ' ἅπερ ὁ Ἰούδας ἀλλ' ὡς Λῃστὴς ὁμολογῶ σοι. Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

## Τῷ Μεγάλῳ Σαββάτῳ

Ἀντὶ τοῦ Χερουβικοῦ, τὸ ἑξῆς εἰς ἦχον πλ. α'

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω. Ὁ γὰρ Βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων, προσέρχεται σφαγιασθῆναι, καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς Προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν Ἀγγέλων, μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας τὰ πολυόμματα Χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφείμ, τὰς ὄψεις καλύπτοντα, καὶ

βοῶντα τὸν ὕμνον ᾿Αλληλούϊα. ᾿Αλληλούϊα. ᾿Αλληλούϊα.

### Κοινωνικὸν

Ἐξηγέρθη ὡς ὑπνῶν Κύριος, καὶ ἀνέστη σώζων ἡμᾶς. ᾿Αλληλούϊα.

### Τῇ Κυριακῇ τοῦ Πάσχα

Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε· ᾿Αλληλούϊα.

### Τῇ Κυριακῇ τοῦ Θωμᾶ

Τὸ αὐτὸ Κοινων. καὶ ἐν ὅλῃ τῇ ἑβδομάδι τῆς Διακαινησίμου·

᾿Επαίνει Ἱερουσαλὴμ τον Κύριον, αἴνει τὸν Θεόν σου, Σιών. ᾿Αλληλούϊα.

### Τῆς Μεσοπεντηκοστῆς

Ὁ τρώγων μου τὴν Σάρκα καὶ πίνων μου τὸ Αἷμα ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ, εἶπεν ὁ Κύριος. ᾿Αλληλούϊα.

### Τῆς ᾿Αναλήψεως

᾿Ανέβη ὁ Θεὸς ἐν ἀλλαλαγμῷ, Κύριος, ἐν φωνῇ σάλπιγγος· ᾿Αλληλούϊα.

### Τῆς Πεντηκοστῆς

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

### Τῆς Μεταμορφώσεως

᾿Εν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου Κύριε, πορευσόμεθα, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιασόμεθα εἰς τὸν αἰῶνα. ᾿Αλληλούϊα.

᾿Εν ὅλαις δὲ ταῖς Θεομητορ. ἑορταῖς τὸ ἑξῆς Κοιν. ἦχος δ'

Ποτήριον σωτηρίου λήψομαι, καὶ το ὄνομα Κυρίου ἐπικαλέσομαι.

# ΜΕΓΑΛΥΝΑΡΙΑ

## Ψαλλόμενα εἰς ἦχον β'

## ΕΝ ΤΑΙΣ ΘΕΙΑΙΣ ΚΑΙ ΙΕΡΑΙΣ ΛΕΙΤΟΥΡΓΙΑΙΣ

### Τριαδικά

Ὑμνήσωμεν πάντες Θεοπρεπῶς, ᾄσμασιν ἐνθέοις, τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ Πνεῦμα τὸ θεῖον, τρισυπόστατον Κράτος, τὴν μίαν Βασιλείαν καὶ Κυριότητα.

Τὰς ἀκτινοβόλουςσου ἀστραπάς, λάμψον μοι Θεέ μου τρισυπόστατε, παντουργέ, καὶ οἶκόν με δεῖξον σῆς ἀπροσίτου δόξης, φαιδρὸν καὶ φωτοφόρον, καὶ ἀναλλοίωτον.

Ἄξιον ἐστὶν ὡς ἀληθῶς, τοῦ δοξάζειν σε τὸν Θεὸν Λόγον· ὃν φρίττει καὶ τρέμει τὰ Χερουβεὶμ καὶ δοξολογοῦσιν αἱ Δυνάμεις τῶν οὐρανῶν, τὸν ἐξαναστάντα τριήμερον ἐκ τάφου, Χριστὸν τὸν ζωοδότην, φόβῳ δοξάσωμεν.

## Σταυρώσιμα

Ὑμνῶ σου τὴν Σταύρωσιν ἀγαθέ, ὑμνῶ σου τὰ Πάθη, προσκυνῶ σου καὶ τὴν Ταφήν, τοὺς ἥλους τὴν λόγχην, τὸν κάλαμον, τὸν σπόγγον, τὰ πάντα προσκυνῶ σου, Σῶτερ μακρόθυμε.

Θέλων ἐσταυρώθης, ὦ Λυτρωτὰ καὶ ἐτραυματίσθης ὑπεράγαθε, δ' ἐμὲ καὶ λόγχῃ ἐτρώθης, τὴν ἄχραντον πλευράν σου. Ὑμνῶ τὰ μεγαλεῖα τῆς σῆς θεότητος.

Τοὺς τετειχισμένους τῷ σῷ Σταυρῷ, καὶ ἐγκαυχωμένους τοῖς Παθήμασί σου, Σωτὴρ, στήριξον ἐν πέτρᾳ τῶν ἐντολῶν σου, Λόγε ἀξίους ἀναδείξας τῆς Βασιλείας σου.

Χαῖρε σκῆπτρον ἅγιον τοῦ Χριστοῦ, Σταυρὲ ζωηφόρε, καύχημα τῶν Χριστιανῶν, Ἀνάκτων τὸ κλέος, καὶ δόξα Ἱερέων δαιμόνων καθαιρέτα, Σταυρὲ πανάγιε.

Χαίροις τὸ τριπόθητον τοῦ Σταυροῦ πανάγιον ξύλον, ζωηφόρε θεῖε· Σταυρέ· ἐν σοὶ γὰρ ὁ πάντων, Θεός τε καὶ Δεσπότης, ἐξέτεινε τὰς χεῖρας διὰ τὸ σῶσαι ἡμᾶς.

## Θεοτοκία

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Χαῖρε τῶν Ἀγγέλων ἡ χαρμονή, καὶ τῶν Ἀποστόλων, Ἀρχαγγέλων καὶ Προφητῶν, Μαρτύρων, Ὁσίων

καὶ πάντων τῶν Δικαίων, ἀνύμφευτε Παρθένε σκέπε τὴν ποίμνην σου.

Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις, ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσης πρὸς τὸν ἐκ σοῦ τεχθέντα, ὦ Δέσποινα τοῦ κόσμου γενοῦ μεσίτρια.

Ἄλαλα τὰ χείλη τῶν ἀσεβῶν τῶν μὴ προσκυνούντων τὴν εἰκόνα σου τὴν σεπτήν, τὴν ἱστορηθεῖσαν ὑπὸ τοῦ Ἀποστόλου Λουκᾶ, ἱερωτάτου, τὴν Ὁδηγήτριαν.

Ἵλεως γενοῦ μοι τῷ ταπεινῷ, ὅτι πλὴν σου ἄλλην, οὐ γινώσκω καταφυγήν, ὁ ἐν ἁμαρτίαις παντοίαις πεπλησμένος ἐλέησόν με, μόνη Χριστιανῶν ἡ ἐλπίς.

Ὢ τῶν ὑπὲρ ἔννοιαν δωρεῶν! ὢ τῆς ἀπορρήτου καὶ ἀφράστου διαγωγῆς! ἧς κατηξιώθη τὸ γένος τῶν ἀνθρώπων Μαρία Θεοτόκε διὰ τοῦ τόκου σου.

Κῆπε καὶ Παράδεισε καὶ Πηγή, Τράπεζα καὶ Στάμνε, καὶ Λυχνία καὶ Κιβωτέ, Πύλη, Κλίμαξ, Θρόνε, σεμνὴ Σκηνὴ καὶ πόκε, περίζωσε τοὺς πόθῳ σὲ μεγαλύνοντας.

Ψάλλομεν προθύμως σοὶ τὴν ᾠδὴν νῦν τῇ Πανυμνήτῳ Θεοτόκῳ χαρμονικῶς, μετὰ τοῦ Προδρόμου καὶ πάντων τῶν Ἁγίων δυσώπει Θεοτόκε, τοῦ οἰκτειρῆσαι ἡμᾶς.

## Τῶν Ἀσωμάτων

Ὢ τῆς Θεωρίας σου τῆς φρικτῆς, καὶ τῆς καλλονῆς σου, τῆς πυρίνης καὶ θεαυγοῦς! Κατέχεις τὸ σκῆπτρον Μιχαήλ, τῇ χειρί σου, καὶ μέλπεις τῇ Τριάδι, ὕμνον τρισάγιον.

Μιχαὴλ Ἀρχάγγελε τοῦ Χριστοῦ, μὴ ἔλθῃς ὡς λέων ἀγριώτατος ἐπ᾽ ἐμέ, μηδὲ τὴν ψυχήν μου ἁρπάσῃς ὡς στρουθίον, ἐν ὥρᾳ τοῦ θανάτου, σύ μοι βοήθησον.

Ἔχων σε προστάτην καὶ βοηθόν, φύλακα καὶ ῥύστην, τῆς ψυχῆς μου τῆς ταπεινῆς, Μιχαὴλ Ταξιάρχα, καὶ

Θεῖε Ταξιάρχα ἐν ὥρᾳ θανάτου, σύ μοι βοήθησον.

Πρῶτος ὡς ὑπάρχων τῆς στρατιᾶς, τῆς ἐπουρανίου Ἀρχιστράτηγε Μιχαήλ, πάρεσο προστάτα πάντων ἡμῶν ἐν μέσῳ τῶν πίστει τε καὶ πόθῳ ἀνευφημούντων σε.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τοὺς δύο φωστῆρας τοὺς μεγάλους καὶ φωταυγεῖς, Μιχαὴλ τὸν Μέγαν, καὶ Γαβριὴλ τὸν Θεῖον, τοὺς δύο Ταξιάρχας τοῦ Παντοκράτορος.

Χαίροις, ἱερώτατε Γαβριήλ, χαίροις πρωτοστάτα τῶν Ἀγγέλων προμηνυτά· χαίροις, ὁ τὸ Χαῖρε μηνύσας τῇ Παρθένῳ ἐν Ναζαρὲτ τῇ πόλει ἣν μεγαλύνομεν.

Τοῦ Ἀρχιστρατήγου τοῦ Μιχαήλ, καὶ τοῦ Ἀρχαγγέλου τὸ μελῴδημα Γαβριήλ, μυστήριον ξένον, τοῦ Θεοῦ τὸ δοχεῖον, ἡ χαρὰ τῶν Ἀγγέλων, χαῖρε Θεόνυμφε.

## Τοῦ Προδρόμου

Πρόδρομε Κυρίου καὶ Βαπτιστά, λύχνε τοῦ Ἡλίου ἑωσφόρε, φωταγωγέ, τὴν ἐσκοτισμένην τοῖς πάθεσι τοῦ βίου ψυχήν μου τὴν ἀθλίαν σὺ φωταγώγησον.

Τὸν τοῦ Ζαχαρίου θεῖον βλαστόν, καὶ τῆς Ἐλισσάβετ, τὴν παγκόσμιον χαρμονήν, τὴν φωνὴν τοῦ Λόγου, τὸν λύχνον τοῦ Ἡλίου, τὸν Πρόδρομον Κυρίου ὕμνοις τιμήσωμεν.

Μείζονα κριθέντα τῶν Προφητῶν, σὲ τὸν τῆς ἐρήμου μέγαν ὄντως καθηγητήν, Κήρυκα τὸν θεῖον καὶ Βαπτιστὴν Κυρίου τὸν Πρόδρομον τὸν Μέγαν, ὕμνοις δοξάζομεν.

Τὸν τῆς μετανοίας καθηγητήν, καὶ τῶν μοναζόντων ἀντιλήπτορα καὶ φρουρόν, τὸν ἀπὸ κοιλίας μητρὸς ἡγιασμένον, τὸν Πρόδρομον Κυρίου, ὕμνοις τιμήσωμεν.

## Τῶν Ἀποστόλων

Πέτρον, Παῦλον, Μάρκον σύν τῷ Λουκᾶ, Φίλιππον, Ματθαῖον, Ἰωάννην, Σίμωνα καὶ Θωμᾶν, τὸν

κλεινὸν Ἀνδρέαν, σὺν θείῳ Ἰακώβῳ καὶ τὸν Βαρθολομαῖον, ὕμνοις τιμήσωμεν.

Τῆς Θεολογίας τὸν ἀρχηγόν, τὸν ἠγαπημένον Ἰωάννην καὶ μαθητήν, τὸν ἐπὶ τὸ στῆθος Χριστοῦ ἀναπεσόντα, τὸν μέγαν Θεολόγον, ὕμνοις τιμήσωμεν.

Πέτρε Ἀποστόλων ἡ κορυφή· Παῦλε Θεοκῆρυξ· Ἰωάννη γόγε βροντῆς, Ἰάκωβε, Μάρκε, σὺν τῇ λοιπῇ ὀκτάδι· ἀπαύστως δυσωπεῖτε εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὰς εὐήχους σάλπιγγας τοῦ Θεοῦ, νῦν τοὺς Ἀποστόλους, εὐφημήσωμεν οἱ πιστοί, τοὺς τὴν οἰκουμένην διδάξαντας πιστεύειν, τὴν σάρκωσιν τοῦ Λόγου, καὶ τὴν Ἀνάστασιν.

Πέτρε θεῖον ἅρμα Χερουβικόν, οὐράνιε Παῦλε, ὄχημά τε Σεραφεικὸν ἡ πύρινος γλῶσσα τοῦ Θεανθρώπου Λόγου πυρός με γεέννης ἀπολυτρώσασθε.

Τῆς Θεολογίας ὢ πλουτιστά, ὁ ἐπὶ τὸ στῆθος τοῦ Δεσπότου ἀναπεσών, ὢ ἠγαπημένε Παρθένε Ἰωάννη, ὢ θεῖε Θεολόγε, σκέπε τοὺς δούλους σου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, τοῦ δοξάζειν σε τὸν θεηγόρον, τῶν Πατρῶν τὸν θεῖον ὑπερασπιστήν, τὸν τῆς Ἀχαΐας ἀντιλήπτορα τὸν θερμόν, Ἀνδρέαν τὸν μέγαν, καὶ μύστην τοῦ Σωτῆρος, Πρωτόκλητον φανέντα, πάντες ὑμνοῦμεν σε.

Δεῦτε τὸν Πρωτόκλητον Μαθητήν, ἐν ὕμνοις ᾀσμάτων εὐφημήσωμεν οἱ πιστοί, τὸν τοῦ Αἰγεάτου τὸ θράσος καθελόντα, καὶ τοῦ Χριστοῦ τὸ Πάθος ἐκμιμησάμενον.

Χαίροις αὐταδέλφων ἡ ξυνωρὶς Πέτρε καὶ Ἀνδρέα, ἀποστόλων ἡ καλλονή, μεθ᾽ ὧν δυσωπεῖτε τὸν Κτίστην ὑπὲρ πάντων, τῶν πόθῳ γεραιρόντων τὴν θείαν μνήμην ὑμῶν.

Χαίροις ὁ πρωτόκλητος Μαθητής· χαίροις σωφροσύνης καὶ ἀνδρείας στήλη λαμπρά· χαίροις ὁ τοῦ πάθους κοινωνὸς τοῦ Κυρίου. Ἀπόστολε Θεόπτα, Ἀνδρέα πάντιμε

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

## Τοῦ Ἁγίου Νικολάου

Ὀρφανῶν προστάτην καὶ τῶν χηρῶν, πεινώντων τροφέα, πενομένων τε πλουτιστήν, αἰχμαλώτων ρύστην, πλεόντων τε σωτῆρα, κεκτήμεθα παμμάκαρ, σοφὲ Νικόλαε.

## Τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου

Χαίροις ὁ χρυσόρρειθρος ποταμός· ὁ τὴν οἰκουμένην καταρνεύων νάμα χρυσοῦν. Χαίροις, ὁ τὴν γλῶσσαν χρυσοῦς κάὶ τὴν καρδίαν, Χρυσόστομε τρισμάκαρ, Πατριαρχῶν ἡ κρηπίς.

## Τοῦ Μεγάλου Βασιλείου

Τὸν οὐρανοφάντορα τοῦ Χριστοῦ, μύστην τοῦ Δεσπότου τὸν φωστῆρα τὸν φαεινόν, τὸν ἐκ Καισαρείας καὶ Καππαδόκων χώρας, Βασίλειον τὸν Μέγαν, πάντες ὑμνήσωμεν.

## Τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου

Τῆς Θεολογίας τὸν θησαυρόν, καὶ τῶν Θεολόγων ἀνεπίληπτον ὁδηγόν, τὸν Θεῖον ποιμένα, καὶ λειτουργὸν Κυρίου, Γρηγόριον τὸν μέγαν, πάντες ὑμνήσωμεν.

## Τοῦ Ἁγίου Ἀντωνίου

Τὸν τῆς μετανοίας καθηγητήν, καὶ τὸν τῆς ἐρήμου πολιοῦχον καὶ οἰκιστήν, τὸν πύρινον στύλον, τὸν λύχνον τοῦ Ἡλίου, Ἀντώνιον τὸν μέγαν, πάντες ὑμνήσωμεν.

## Τῶν Τριῶν Ἱεραρχῶν

Δεῦτε εὐφημήσωμεν οἱ πιστοὶ τοὺς Τρεῖς Ἱεράρχας τοὺς μεγάλους καὶ φωταυγεῖς, Βασίλειον ἅμα τῷ σοφῷ Γρηγορίῳ τὸν μέγαν Ἰωάννην, πάντες δοξάσωμεν.

## Τοῦ Ἁγίου Σπυρίδωνος

Χαίροις τῶν θαυμάτων ὁ ποταμός, χαίροις ἀσθενούντων καὶ πασχόντων ὁ ἰατρός, χαίροις τῶν λογίων

τοῦ Πνεύματος ὁ σπόρος, Σπυρίδων Τριμυθοῦντος Ποιμὴν Τρισόλβιε.

## Τοῦ Ἁγίου Δημητρίου

Τὸν μέγαν ὁπλίτην καὶ ἀθλητήν, τὸν στεφανηφόρον, καὶ ἐν Μάρτυσι θαυμαστόν, τὸν λόγχῃ τρωθέντα, πλευρὰν ὡς ὁ Δεσπότης, Δημήτριον τὸν Θεῖον, ὕμνοις τιμήσωμεν.

Φύλαττε τοὺς δούλους σου ἀθλητά, μάρτυς Μυροβλύτα, τοὺς τιμῶντάς σε εὐσεβῶς, καὶ ρῦσαι κινδύνων καὶ πάσης ἄλλης βλάβης, Δημήτριε Τρισμάκαρ, τῇ μεσιτείᾳ σου.

## Τοῦ Ἁγίου Γεωργίου

Τὸν θερμὸν προστάτην καὶ βοηθόν, τὸν ἐν τοῖς κινδύνοις ἀντιλήπτορα ταχυνόν, τῶν Μαρτύρων κλέος, εἰδώλων καθαιρέτην, Γεώργιον τὸν μέγαν πάντες τιμήσωμεν.

Ἄστρον ἀνατέλακε φαεινόν, ἐκ τῆς Καππαδόκων, ὁ πολύαθλος τοῦ Χριστοῦ Μάρτυς καὶ φωτίζει πιστῶν ἅπαν τὸ πλῆθος, Γεώργιος ὁ Μέγας, ὃν νῦν γεραίρομεν.

## Τῆς Ἁγίας Μαρίνης

Τὴν λαμπάδα πάντες τὴν φαεινήν, καὶ τῆς παρθενίας τὸν ἀσύλληπτον θησαυρόν, τὴν νύμφην Κυρίου, καὶ ἄσπιλον ἀμνάδα, Μαρίναν τὴν ἁγίαν, πάντες τιμήσωμεν.

## Τῆς Ἁγίας Ἄννης

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, Ἄνναν τὴν ἁγίαν, τὴν Προμήτορα τοῦ Χριστοῦ, τὴν ἀξιωθεῖσαν γεννῆσαι τὴν Παρθένον, τὴν μόνην Θεοτόκον καὶ παναμώμητον.

## Νεκρώσιμον

Ταῖς τῶν Ἀποστόλων σου προσευχαῖς, Προφητῶν, Μαρτύρων, καὶ ἁγίων Ἱεραρχῶν, καὶ πάντων τῶν Ὁσίων, ψυχὰς ἃς προσελάβου, ἀνάπαυσον, Οἰκτίρμων, ὡς ὑπεράγαθος.

# ΕΙΣ ΤΑ ΑΠΟΔΕΙΠΝΑ

Πρόσδεξαι, Κύριε, τὴν δέησιν ἡμῶν τῶν ἁμαρτωλῶν ὡς προσεδέξω Ἀβραὰμ τὴν θυσίαν καὶ Πέτρου τὴν μετάνοια, τοῦ Τελώνου τὴν θυσίαν, καὶ τῆς Πόρνης τὰ δάκρυα, τῶν Μυροφόρων γυναικῶν θυμιάματα, τοῦ Ληστοῦ τὴν ὁμολογίαν ἐπὶ τὸν Σταυρὸν καὶ ἐλέησον ἡμᾶς δεομένους σου.

Τῆς ὀργῆς σου τὴν ἀγανάκτησιν, εἰς εἰρήνην μετάβαλε καὶ σῶσον τὸν κόσμον σου, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Χαῖρε Μαρία Θεοτόκε, ὁ ναὸς ὁ ἀκατάλυτος, μᾶλλον δὲ ὁ ἅγιος καθὼς βοᾷ ὁ Προφήτης. Ἅγιος ὁ Ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

## Ψαλμὸς Ν 50

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ραντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέ-

ψουσι. Ρῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σού. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον. Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τά τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε, Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ

# "ΤΟΥΛΑΣ - ΜΑΥΡΑΚΟΣ,,

ΟΔΟΣ ΕΡΜΟΥ 45 – ΕΝ ΠΑΤΡΑΙΣ

1) Καταβασίαι

2) Ἀκολουθία τοῦ Ἀναγνώστου (Συλλειτουργικὸν)

3) Ἀποκάλυψις τῆς Ὑπεραγίας Θεοτόκου

4) Ἐπιστολὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

5) Βίοι Ἁγίων

6) Αἱ δέκα ἐντολαὶ

7) Ἅπαντα τὰ ἐκκλησιαστικὰ βιβλία